# 3

## ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩΙ
## ΙΠΠΟΙΣ [ΟΛΥ]Μ̣ΠΙΑ

*ΣΤΡ* metra iambica et aeolica (v. pp. 265-266) Α′–Ζ′

⏒–⏑⏖ ⏓ ⏕ ⏑–⏑–– || *trim iamb catal* ||
⏒–⏑⏑–⏑⏑–⏑–– || ‸*hipp*$^d$ ||
⏓ –⏑⏑–⏑⏑–⏑–⏑ ⁝
–⏑–⏒– ⁝ ⏑⏑–⏑–– ||| ‸*gl*$^d$ *ia* ‸*hipp* |||

*ΕΠ* dactyloepitr. (v. p. 264)

⏓ –⏑⏑–⏑⏑––
–⏑– ⏓ –⏑– || ⏓ D – E ||
–⏑– ⏓ –⏑–
– –⏑⏖ – –⏑– || E – E ||
⏖ ⏑–⏓–⏑ – ⏓ –⏑–
–⏑– ⏓ –⏑– ||| E ⏓ e E |||

Α′ Ἀριστο[κ]άρπου Σικελίας κρέουσαν
Δ[ά]ματρα ἰοστέφανόν τε Κούραν
ὕμνει, γλυκύδωρε Κ̣λεοῖ, θοάς τ᾽ Ὀ–
λυμ]πιοδρόμους Ἱέρωνος ἵππ[ο]υς.

σεύον]το γὰρ σὺν ὑπερόχωι τε Νίκᾶι
σὺν Ἀγ]λαΐᾶι τε παρ᾽ εὐρυδίναν
Ἀλφεό̣ν, τόθι] Δ̣εινομένε̣ο̣ς ἔθηκαν
ὄλβιον τ̣[έκος στεφάνω]ν κυρῆσαι·

θρόησε δὲ λ[αὸς ⏑– –·

**3** **9** λ[αὸς Ἀχαιῶν Kenyon, ἀπείρων Blass, ἀγασθεὶς Jebb

ὦ τρισευδαίμ[ων ἀνήρ,
col. 7 ὃς παρὰ Ζηνὸς λαχὼν
πλείσταρχον Ἑλλάνων γέρας
οἶδε πυργωθέντα πλοῦτον μὴ μελαμ-
φαρέϊ κρύπτειν σκότωι.
)—
Β′ βρύει μὲν ἱερὰ βουθύτοις ἑορταῖς,
βρύουσι φιλοξενίας ἀγυιαί·
λάμπει δ᾽ ὑπὸ μαρμαρυγαῖς ὁ χρυσός,
ὑψιδαιδάλτων τριπόδων σταθέντων
—
πάροιθε ναοῦ, τόθι μέγιστον ἄλσος
Φοί̣βου παρὰ Κασταλίας ῥεέθροις
Δελφοὶ διέπουσι. θεὸν θ[εό]ν τις
ἀγλαϊζέθὠ γὰρ ἄριστος ὄλβων·
—
ἐπεί ποτε καὶ δαμασίππου
Λυδίας ἀρχαγέταν,
εὖτε τὰν πεπ[ρωμέναν
Ζηνὸς τελέ[σσαντος κρί]σιν
Σάρδιες Περσᾶ[ν ἁλίσκοντο στρ]ατῶι,
Κροῖσον ὁ χρυσά̣[ορος
)—
Γ′ φύλαξ᾽ Ἀπόλλων. [ὁ δ᾽ ἐς] ἄ̣ελπτον ἆμαρ
μ[ο]λὼν πολυδ[άκρυο]ν̣ οὐκ ἔμελλε
μίμνειν ἔτι δ[ουλοσύ]ναν· πυ̣ρὰν δὲ
χαλκ̣[ο]τειχέος π̣[ροπάροι]θεν αὐ[λᾶς
—
ναήσ̣ατ᾽, ἔνθα σὺ[ν ἀλόχωι] τε κεδ[νᾶι
σὺ̣ν εὐπλοκάμοι[ς τ᾽] ἐπέβαιν᾽ ἄλα̣[στον

12 ΓΕΝΟΣ: **Α**[1] **13** ΜΕΛΛΗ· **Α**[1]? **25** Palmer **26** τελέσσαντος Wackernagel | κτίσιν Kenyon, κρίσιν Weil **27** ἁλίσκοντο Wackernagel, ἐπόρθηθεν Maas **28** χρυσά̣[ορος Palmer, χρυσά̣[ρματος Kenyon **31** δουλοσύναν Jebb





θ]υ̣[γ]α̣τράσι δυρομέναις· χέρας δ᾽ [ἐς
αἰ]πὺ̣ν αἰθέρα σφετέρας ἀείρας
—
γέ]γω̣νεν· "ὑπέρ[βι]ε δαῖμον,
πο]ῦ θεῶν ἐστιν χάρις;
πο]ῦ̣ δὲ Λατοίδας ἄναξ;
ἔρρουσ]ιν Ἀλυά[τ]τα δόμοι
—⏑— ⏓ —⏑— ⏓] μυρίων
—⏑— ⏓ —⏑—]ν·
)—
Δ′ ⏓ —⏑ ⏑⏑⏓ ⏑⏑ ⏑—⏑]ν ἄστυ,
ἐρεύθεται αἵματι χρυσο]δίνας
col. 8 Πακτωλός, ἀεικελίως γυναῖκες
ἐξ ἐϋκτίτων μεγάρων ἄγονται·
—
τὰ πρόσθεν [ἐχ]θρὰ φίλα· θανεῖν γλύκιστον."
τόσ᾽ εἶπε, καὶ ἁβ[ρο]βάταν κ[έλε]υσεν
ἅπτειν ξύλινον δόμον. ἔκ̣[λα]γον δὲ
παρθένοι, φίλας τ᾽ ἀνὰ ματρὶ χεῖρας
—
ἔβαλλον· ὁ γὰρ προφανὴς θνα-
τοῖσιν ἔχθιστος φόνων·
ἀλλ᾽ ἐπεὶ δεινοῦ πυρὸς
λαμπρὸν διάϊ[σσεν μέ]ν̣ος,
Ζεὺς ἐπιστάσα̣ς [μελαγκευ]θὲς νέφος
σβέννυεν ξανθὰ[ν φλόγα.
)—
Ε′ ἄπιστον οὐδέν, ὅ τι θ̣[εῶν μέ]ριμνα
τεύχει· τότε Δαλογενὴ[ς Ἀπό]λλων
φέρων ἐς Ὑπερβορέο[υς γ]έροντα

**44** Kenyon, cf. Hesych. ε 5756 ἐρεύθεται· πίμπλαται **47** ΘΕΝΔ: Fraccaroli | ἐχθρὰ Palmer | ΝΥΝ supra ΑΦΙΛ add. **Α**[3] **56** Palmer

σὺν τανισφύροις κατ[έν]ασσε κούραις
—
δι' εὐσέβειαν, ὅτι μέ[γιστα] θνατῶν
ἐς ἀγαθέαν <ἀν>έπεμψε Π[υθ]ώ.
ὅσο[ι] <γε> μὲν Ἑλλάδ' ἔχουσιν, [ο]ὔτι[ς,
ὦ μεγαίνητε Ἱέρων, θελήσει
—
φάμ]εν σέο πλείονα χρυσὸν
Λοξί]ᾳ πέμψαι βροτῶν.
εὖ λέγειν πάρεστιν, ὅσ-
τις μ]ὴ φθόνωι πιαίνεται,
. . . .]λη φίλιππον ἄνδρ' ἀρήϊον
. . . .]ίου σκᾶπτρον Διός
)—
F′ ἰοπλό]κων τε μέρο[ς ἔχοντ]α Μουσᾶν·
. . . .]μαλεαι ποτ[ε . . . . . .] ΄.ιων
. . . .]νος ἐφάμερον α[. . . . . .]·
. . . .]α σκοπεῖς· βραχ[ύς ἐστιν αἰών·
—
πτερ]όεσσα δ' ἐλπὶς ὑπ[ολύει ν]όημα
ἐφαμ]ερίων· ὁ δ' ἄναξ [Ἀπόλλων
. . . . .]΄.λος εἶπε Φέρη[τος υἷι·
col. 9 "θνατὸν εὖντα χρὴ διδύμους ἀέξειν
—
γνώμας, ὅτι τ' αὔριον ὄψεαι
μοῦνον ἁλίου φάος,
χὤτι πεντήκοντ' ἔτεα
ζωὰν βαθύπλουτον τελεῖς.
ὅσια δρῶν εὔφραινε θυμόν· τοῦτο γὰρ
κερδέων ὑπέρτατον."
)—

**62** <ἀν> Blass **63** <γε> Blass **65** φάμεν Blass **66** Blass **68** ὅστις μὴ Palmer **69** εὐθαλῆ Sandys **70** ξεινίου Nairn, τεθμίου vel δαμίου Blass **71** Blass **74** καίρι]α σκόπει{ς} Lloyd-Jones cl. schol. pap. **M** fr.3 | βραχ[ύς ἐστιν αἰών Blass **77** ἑκαβόλος Jebb | υἷι Platt, Wackernagel





Z′ φρονέοντι συνετὰ γαρύω· βαθὺς μὲν
αἰθὴρ ἀμίαντος· ὕδωρ δὲ πόντου
οὐ σάπεται· εὐφροσύνα δ' ὁ χρυσός·
ἀνδρὶ δ' οὐ θέμις, πολιὸν π[αρ]έντα
—
γῆρας, θάλ[εια]ν αὖτις ἀγκομίσσαι
ἥβαν. ἀρετᾶ[ς γε μ]ὲν οὐ μινύθει
βροτῶν ἅμα σ[ώμ]ατι φέγγος, ἀλλὰ
Μοῦσά νιν τρ[έφει.] Ἱέρων, σὺ δ' ὄλβου
—
κάλλιστ' ἐπεδ[είξ]αο θνατοῖς
ἄνθεα· πράξα[ντι] δ' εὖ
οὐ φέρει κόσμ[ον σι]ω-
πά· σὺν δ' ἀλαθ[είᾳ] καλῶν
καὶ μελιγλώσσου τις ὑμνήσει χάριν
Κηΐας ἀηδόνος.

## 4

## ΤΩΙ ΑΥΤΩΙ
## <ΙΠΠΟΙΣ> ΠΥΘΙΑ

metrum: aeolica et dactylica (v. pp. 265–266)

| | | |
|---|---|---|
| 1 | ⏑⏑⏑–⏑⏑–⏑– | *gl* |
| | ⏑⏑⏑–⏑⏑–⏑–– \| | *hipp* \| |
| 3 | –⏑⏑–⏑⏑–⏑⏑–– \| | *4 da* \| |
| | ⏑–⏑ ⏓–⏑⏑–⏑–⏑–– \| | *decasyllab* (= ⏑– *gl*) *cr* \| |
| 5 | –⏑⏑–⏑⏑–⏑⏑ \| | |
| | –⏑⏑–⏑⏑– \|⏑–– \| | *6 da*^ *ba* \| |
| 7 | ⏑⏑⏑–⏑⏑–<⏑>– | *gl* |
| | ⏑–––⏑⏑–⏑–– \| | *ba*^ *hipp* = *chodim ba* \| |
| 9 | ⏑⏑⏑–⏑–⏑⏑– \| | *chodim* \| |
| | –⏑–⏑⏑–⏑–– \|\|\| | *hipp* \|\|\| |

A′ Ἔτι Συρακοσίαν φιλεῖ
πόλιν ὁ χρυσοκόμας Ἀπόλλων,

3 ἔσπεο· σὺν δὲ τύχᾱι
ναίεις Μεταπόντιον, ὦ
χρυσέα δέσποινα λαῶν·
6 ἄλσος δέ τοι ἱμερόεν
Κάσαν παρ᾽ εὔυδρον †προγο-
νοι ἐσσάμενοι† Πριάμοι᾽ ἐπεὶ χρόνωι
9 βουλαῖσι θεῶν μακάρων
πέρσαν πόλιν εὐκτιμέναν
χαλκοθωράκων μετ᾽ Ἀτρειδᾶν. δικαίας
12 ὅστις ἔχει φρένας, εὑ-
ρήσει σὺν ἅπαντι χρόνωι
μυρίας ἀλκὰς Ἀχαιῶν.

**119** sq. Κάσᾱ παρ᾽ εὔυδρ. πόρον ⁝ ἔσσαν πρόγονοι Carey, Κάσαν παρ᾽ εὔυδρον κτίσαν (Turyn) σταθμασάμενοι Maehler





## 15 = dith. 1

### ΑΝΤΗΝΟΡΙΔΑΙ Η ΕΛΕΝΗΣ ΑΠΑΙΤΗΣΙΣ

metrum: dactyloepitr. Α′ – Γ′

| | | |
|---|---|---|
| *ΣΤΡ* | – – ⏑⏑ – ⏑⏑ – | – D \| |
| | – – ⏑⏑ – ⏑⏑ – ⏓ – ⏑ – | – D ⏓ e \|\| |
| | 3 ⏓ – ⏑ – – – ⏑⏑ – ⏑⏑ – | ⏓ e – D \| |
| | – – ⏑ – – – ⏑ – | – E \| |
| | 5 – ⏑ – – – ⏑ – – – ⏑ – – | E – e – \| |
| | – ⏑⏑ – ⏑⏑ – – – ⏑⏑ – ⏑⏑ – | D – D \|\| |
| | 7 – ⏑ – – – ⏑ – – – ⏑ – – | E – e – \|\|\| |
| *ΕΠ* | – – ⏑ – – – ⏑⏑ – ⏑⏑ – | – e – D \| |
| | 2 – – ⏑ – – – ⏑ – – | – E – \| |
| | – ⏑ – – – ⏑⏑ – ⏑⏑ – | e – D \| |
| | 4 – – ⏑⏑ – ⏑⏑ – – | |
| | – ⏑ – – – ⏑ – | |
| | – – ⏑⏑ – ⏑⏑ – | – D – E – D \| |
| | 7 – – ⏑ – – – ⏑ – – | – E – \|\|\| |

col. 1 Α′

Ἀντή]ν̣ορος ἀντιθέου
κεδνὰ πα]ρ̣ά̣κ̣ο̣ι̣τις Ἀθάνας πρόσπολος
3 ⏓ – ⏑ – – ] Παλλάδος ὀρσιμάχου
– – ⏑ – – χ]ρυσέας
– ⏑ – – – ⏑]ν̣ Ἀργείων Ὀδυσσεῖ
Λαρτιάδαι Μενελ]ά̣ωι τ᾽ Ἀτρεΐδᾱι βασιλεῖ
7 – ⏑ – – – βαθύ]ζωνος Θεανώ
—
– – ⏑⏑ – ⏑⏑ ]ον
– – ⏑⏑ – ⏑⏑ – ]ν προσήνεπεν·

**15** **7** ὥς ποτ᾽ ἤντησεν β. Koerte

3 ––⏑–––⏑ ἐ]ϋκτιμέναν
––⏑–––⏑–]
–⏑–––⏑––]δων τυχόντες
–⏑⏑ –⏑⏑ –––⏑⏑ ]. σὺν †θεοῖς
7 –⏑ –––⏑ –––⏑ – ]δους
—
(deest epod.α′)
Β′ ––⏑⏑ –⏑⏑–]
23 ––⏑⏑ οὐ γὰρ ὑπόκλοπον φορεῖ
βροτοῖσι φωνάεντα λόγον σοφία
(desunt vv.XI)
ΕΠ. Β′ 36 ––⏑ –––⏑⏑ –⏑⏑–]
col.2 ἄγον, πατὴρ δ᾽ εὔβουλος ἥρως
πάντα σάμαινεν Πριάμωι βασιλεῖ
4 παίδεσσί τε μῦθον Ἀχαιῶν.
ἔνθα κάρυκες δι᾽ εὐ-
ρεῖαν πόλιν ὀρνύμενοι
Τρώων ἀόλλιζον φάλαγγας
)—
Γ′ δεξίστρατον εἰς ἀγοράν.
πάνται δὲ διέδραμεν αὐδάεις λόγος·
3 θεοῖς δ᾽ ἀνίσχοντες χέρας ἀθανάτοις
εὔχοντο παύσασθαι δυᾶν.
Μοῦσα, τίς πρῶτος λόγων ἆρχεν δικαίων;
Πλεισθενίδας Μενέλαος γάρυϊ θελξιεπεῖ
7 φθέγξατ᾽, εὐπέπλοισι κοινώσας Χάρισσιν·
—
"ὦ Τρῶες ἀρηΐφιλοι,
Ζεὺς ὑψ[ιμέδων ὃ]ς ἅπαντα δέρκεται
3 οὐκ αἴτιος θνατοῖς μεγάλων ἀχέων,
ἀλλ᾽ ἐν [μέσ]ωι κεῖται κιχεῖν
πᾶσιν ἀνθρώποις Δίκαν ἰθεῖαν, ἁγνᾶς

**10** ξεῖνοι, τί δὴ Τροίαν ἐς ἐ. e.g. Maehler **13** ]Σ vel ]Ε: ἤλθετ]ε σύν <γε> θεοῖς Maehler **23–24** = fr. 26 Snell, hic inseruit Blass





Εὐνομίας ἀκόλουθον καὶ πινυτᾶς Θέμιτος·
7 ὀλβίων π⌊αῖδές⌋ νιν αἱρεῦνται σύνοικον.
—
ἃ δ᾽ αἰόλοις κέρδεσσι καὶ ἀφροσύναις
ἐξαισίοις θάλλουσ᾽ ἀθαμβής
3 Ὕβρις, ἃ πλοῦτ[ο]ν δύναμίν τε θοῶς
ἀλλότριον ὤπασεν, αὖτις
δ᾽ ἐς βαθὺν πέμπει φθόρον·
κε]ῖνα καὶ ὑπερφιάλους
Γᾶς] παῖδας ὤλεσσεν Γίγαντας."

## 16 = dith. 2

### [ΗΡΑΚΛΗΣ (vel ΔΗΙΑΝΕΙΡΑ ?) ΕΙΣ ΔΕΛΦΟΥΣ]

metrum: dactyli

| | | |
|---|---|---|
| *ΣΤΡ* | 1 ––⏑⏑–⏑– ‖ | *^gl* ‖ |
| | –⏑⏑–⏑⏑–⏑⏑– \| | *4da^* \| |
| | 3 –⏑⏑–⏑⏑–⏑⏑–⏑⏑– | *5da^* |
| | ⏑? ⏑⏑–⏑–⏑–– \| | *2tr* \| |
| | 5 –⏑⏑–⏑⏑–⏑⏑–⏓–– \| | *4da ^ ba* \| |
| | –⏑⏑–⏑⏑–⏑⏑–⏑⏑–– \| | *5da* \| |
| | 7 ⏑⏑–⏑⏑–⏑⏑–⏑⏑– | *⏑⏑ 4da^* |
| | –⏑⏑–––⏑⏒ \| | *cho ia* ‖ |
| | –⏑⏑⏑–– ‖ | *cr ⏑⏑ sp* ‖ |
| | 10 –⏑⏑–– \| | *adon* \| |
| | ⏑⏑⏑––– \| | *⏑⏑cr sp* \| |
| | –⏑⏑–– \|⏑⏑–⏑⏑–⏒ ‖‖ | *adon ^pher* ‖‖ |
| *ΕΠ* | 1 –⏑⏑–⏑⏑– | |
| | ⏑⏑–⏑⏑–⏑⏑–– ‖ | *6da* ‖ |
| | 3 ⏑⏑–⏑⏑–––⏑– \| | *⏑⏑ cho cr* \| |
| | ⏑⏑–⏑⏑–⏑⏑– | *⏑⏑ 5da^* \| |
| | ⏑⏑–⏑⏑ – \|⏑⏑⏑––– ‖ | *⏑⏑cr sp* ‖ |
| | 6 ––⏑⏑–⏑– –⏑⏑–⏑– \| | *^gl–⏑⏑ –⏑ –* \| |
| | ⏑⏑ –⏑⏑–⏑⏑–⏑– \| | *⏑⏑ 3da⏑–* \| |

**62–63** suppl. Kenyon

8 ⏑⏑–⏑⏑–⏑– ‸gl
–⏑⏑–⏑⏑–
⏑⏑–⏑⏑–⏑⏑–– | 6da |
11 –⏑⏑–– |⏑⏑–⏑⏑–⏑– ||| adon | ‸gl |||

. . . ]ịου . ịọ . . . ἐπεὶ
ὁλκ]άδ' ἔπεμψεν ἐμοὶ χρυσέαν
Πιερ]ίαθεṇ ἐ̣[ΰθ]ρọνọς [Ο]ὐρανία,
πολυφ]άτων γέμουσαν ὕμνων
. . . . . ]ṇẹịτ̣ịς ἐ̣π̣' ἀνθεμόεντι Ἕβρωι
. . . . . ἀ]γάλλεται ἢ δολιχαύχενι κύ[κνωι
. . . . . ]δεῖα[[ν']] φρένα τερπόμενος
. . . . . . ]δ̣' ἵκηι π̣αιηόνων
col.3 ἄνθεα πεδοιχνεῖν,
Πύθι' Ἄπολλον.
τόσα χοροὶ Δελφῶν
σὸν κελάδησαν παρ' ἀγακλέα ναόν.
—
1 πρίν γε κλέομεν λιπεῖν
Οἰχαλίαν πυρὶ δαπτομέναν
3 Ἀμφιτ̣ρ̣υωνιάδαν θρασυμηδέα φῶ-
θ', ἵκετο δ' ἀμφικύμον' ἀκτάν·
5 ἔνθ' ἀπὸ λαΐδος εὐρυνεφεῖ Κηναίωι
Ζηνὶ θύεν βαρυαχέας ἐννέα ταύρους
7 δύο τ' ὀρσιάλωι δαμασίχθονι μέ[λ-
λε †κόρᾱι τ' † ὀβριμοδερκεῖ <δ'> ἄζυγα
παρθένωι Ἀθάνᾱι
10 ὑψικέραν βοῦν.
τότ' ἄμαχος δαίμων
Δαϊανείρᾱι πολύδακρυν ὕφα[νε
—

**16 5** ]N vel ]Al: ἐς θεὸ]ν Jebb, εὔχομ]αι D. A. Schmidt **7** μελια]δε<ῑ> D. A. Schmidt, ἰᾶι Kuiper **8** πρὶν τό]δ' ἵκηι Maehler **19–20** μέ[λ]λ', ὀβριμοδερκεῖ <δ'> ἄζυγα Maas, Barrett (κόραι τ' del. Maas)





1 μῆτιν ἐπίφρον' ἐπεὶ
πύθετ' ἀγγελίαν ταλαπενθέα,
3 Ἰόλαν ὅτι λευκώλενον
Διὸς υἱὸς ἀταρβομάχας
ἄλοχον λιπαρὸ[ν] π̣οτὶ δόμον πέμ̣[π]οι.
6 ἆ δύσμορος, ἆ τάλ[αι]ν', οἷον ἐμήσατ[ο·
φθόνος εὐρυβίας νιν ἀπώλεσεν,
8 δνόφεόν τε κάλυμμα τῶν
ὕστερον ἐρχομένων,
ὅτ' ἐπὶ ῥοδόεντι Λυκόρμᾱι
11 δέξατο Νέσσου πάρα δαιμόνιον τέρ[ας.

## 17 = dith. 3

### ΗΙΘΕΟΙ Η ΘΗΣΕΥΣ <ΚΗΙΟΙΣ ΕΙΣ ΔΗΛΟΝ>

metrum e iambis ortum (v. p. 267)

*ΣΤΡ*
1 ⏒⏑⏑–⏑––⏑–⏑–
–⏑⏑⏑–⏑–⏑– |⏑–⏒
––⏑–⏑– ||?
4 –⏑––⏑⏑⏑⏓ ||
5 ––⏑⏒⏒––⏑⏑
⏑–⏑––⏑⏒⏒–
⏑– | ⏑–⏑⏑⏑–⏑⏑⏑–– |
8 ⏒–⏑––⏑⏑⏑
–⏑–⏑–⏑– |
10 –⏑⏑–⏑–⏑
–⏑–⏑⏑–⏑⏑–
(⏑) ⏒–⏑–⏑– | ⏑–
13 ⏑––⏒–⏑
⏑–⏑⏒⏒ ⏓⏓ ⏑–⏑
––⏑––⏑⏓ |
16 –⏑⏑⏑–⏑––
(⏑)⏒–⏑–⏑⏓ |

*ΕΠ*
1 ⏑–⏑⏑⏑–⏑–– |
2 ⏑–⏑–⏑– |
3 –⏑⏑⏑–⏑– |
4 –⏑⏓⏓⏑–⏑––⏑–⏑–⏑ |
5 ⏑–⏑⏑⏑–⏑– |
6 –⏑––⏑⏑⏑–⏑– |
7 –⏑⏑⏑–⏑––⏑–– ||
8 ––⏑––⏑––⏑⏓ |
9 –⏑–⏑–⏑–⏑– |
10 ⏑⏑⏑–⏑–⏑– |
11 –⏑––⏑–
⏑–⏑––⏑– | ––⏑⏑
⏑–⏑––⏑–
–⏑–⏑–⏑– ||
15 –⏑–⏑⏑⏑–
⏑–⏑–⏑––⏑– |
17 ⏑–⏑––⏑⏑⏑–⏑⏓ |

**34** ΕΠΙ ΠΟΤΑΜΩ[Ι] ΡΟΔ.: ποταμῶι del. Ludwich, Wilamowitz

18 ⏓—⏑—⏑—⏑—⏑—
—⏑⏑⏑—⏑—⏓ |
20 ⏓—⏑⏑⏑⏕⏑—⏑— ||
21 ⏓⏑⏑—⏑⏑⏑—
⏑—⏑——⏑— |
23 —⏑—⏑⏑⏑—⏑⏕—⏑⏓ |||

18 —⏑⏕—⏑—⏑—
⏑⏑⏑—— |
20 ⏑—⏑⏕—⏑——⏑— |||

A′

Κυανόπρ̣ωιρα μὲν ναῦς μενέκτυ[πον
Θησέα δὶς ἑπτ[ά] τ' ἀγλαοὺς ἄγουσα
κούρους Ἰαόνω[ν
Κρητικὸν τάμνε πέλαγος·
τηλαυγέϊ γὰρ [ἐν] φάρεϊ
βορήϊαι πίτνο[ν] αὖραι
κλυτᾶς ἕκατι π̣[ε]λεμαίγιδος Ἀθάν[ας·
col. 4 κνίσεν τε Μίνω<ϊ> κέαρ
ἱμεράμπυκος θεᾶς
Κύπριδος [ἅ]γ̣ν̣ὰ δῶρα·
χεῖρα δ' οὐ[κέτι] παρθενικᾶς
ἄτερθ' ἐράτ̣υ̣εν, θίγεν
δὲ λευκᾶν παρηΐδων·
βόασ̣έ̣ τ' Ἐρίβοια χαλκο-
θώρα[κα Π]α̣νδίονος
ἔκγ[ο]ν̣ον· ἴδεν δὲ Θησεύς,
μέλαν δ' ὑπ' ὀφρύων
δίν̣α[σ]εν ὄμμα, καρδίαν τέ οἱ
σχέτλιον ἄμυξεν ἄλγος,
εἶρέν τε· "Διὸς υἱὲ φερτάτου,
ὅσιον οὐκέτι τεᾶν
ἔσω κυβερνᾷς φρενῶν
θυ̣μ̣[όν]· ἴσχε μεγάλαυχον ἥρως βίαν.
—
1 ὅ τι μ̣[ὲ]ν ἐκ θεῶν μοῖρα παγκρατὴς
ἄμμι κατένευσε καὶ Δίκας ῥέπει τά-
λαντον, πεπρ̣ωμέν[α]ν

**17** **23** ΜΕΓΑΛΟΥΧΟΝ: Kenyon





4 αἶσαν [ἐ]κπλήσομεν, ὅτ[α]ν
5 ἔλθηι· [σ]ὺ̣ δὲ βαρεῖαν κάτε-
χε μῆτιν. εἰ καί σε κεδνὰ
τέκεν λέχει Διὸς ὑπὸ κρόταφον Ἴδας
8 μιγεῖσα Φοίνικος ἐρα-
τώνυμος κόρα βροτῶν
10 φέρτατ̣ον, ἀλλὰ κἀμὲ
Πιτθ[έ]ος θυγάτηρ ἀφ̣ν̣εοῦ
πλαθεῖσα ποντίωι τέκεν
13 Ποσειδᾶνι, χρυσεόν
τέ οἱ δόσαν ἰόπλοκοι
†καλυμμα† Νηρηΐδες.
16 τῶ σε, πολέμαρχε Κ̣ν̣ωσί̣ω̣ν,
κέλομαι πολύστονον
18 ἐρύκεν ὕβριν· οὐ γὰρ ἂν θέλοι-
col.5 μ' ἀμβρότοι' ἐραννὸν Ἀο[ῦς
20 ἰδεῖν φάος, ἐπεί τιν' ἠϊθέ[ων]
21 σὺ δαμάσειας ἀέκον-
τα· π̣ρόσθε χειρῶν βίαν
23 δε[ί]ξομεν· τὰ δ' ἐπιόντα δα[ίμω]ν κρινεῖ."
—
1 τόσ' εἶπεν ἀρέταιχμος ἥρως·
2 τά]φον δὲ ναυβάται
3 φ]ωτὸς ὑπεράφανον
4 θ]άρσος· Ἀλίου τε γαμβρῶι χόλωσεν ἦτορ,
5 ὕφαινέ τε ποταινίαν
6 μῆτιν, εἶπέν τε· "μεγαλοσθενές
7 Ζεῦ πάτερ, ἄκουσον· εἴ πέρ με νύμ[φ]α
8 Φοίνισσα λευκώλενος σοὶ τέκεν,
9 νῦν πρόπεμπ' ἀπ' οὐρανοῦ θοάν
10 πυριέθειραν ἀστραπάν
11 σᾶμ' ἀρίγνωτον· εἰ
δὲ καὶ σὲ Τ̣ροιζηνία σεισίχθονι
φύτευσεν Αἴθρα Ποσει-

**38** ΚΑΛΥΜΜΑ ΝΗΡ: κάλυμμ' ἄ<δυ> Ludwich; estne κάλ. glossema?

δᾶνι, τόνδε χρύσεον
15 χειρὸς ἀγλαὸν
ἔνεγκε κόσμον ἐκ βαθείας ἁλός,
17 δικὼν θράσει σῶμα πατρὸς ἐς δόμους.
18 εἴσεαι δ' αἴκ' ἐμᾶς κλύηι
Κρόνιος εὐχᾶς
20 ἀναξιβρέντας ὁ πάντω[ν με]δ[έω]ν."
)—

B′ 1 κλύε δ' ἄμεμπτον εὐχὰν μεγασθενὴ[ς
Ζεύς, ὑπέροχόν τε Μίνωϊ φύτευσε
τιμὰν φίλωι θέλων
4 παιδὶ πανδερκέα θέμεν,
5 ἄστραψέ θ'· ὁ δὲ θυμαρμένον
ἰδὼν τέρας χεῖρα πέτασε
κλυτὰν ἐς αἰθέρα μενεπτόλεμος ἥρως
8 εἶρέν τε· "Θησεῦ, τάδε μὲν
†βλεπεις† σαφῆ Διός
10 δῶρα· σὺ δ' ὄρνυ' ἐς βα-
ρύβρομον πέλαγος· Κρονί[δας
col. 6 δέ τοι πατὴρ ἄναξ τελεῖ
13 Ποσειδὰν ὑπέρτατον
κλέος χθόνα κατ' ἠΰδενδρον."
ὣς εἶπε· τῶι δ' οὐ πάλιν
16 θυμὸς ἀνεκάμπτετ', ἀλλ' εὐ-
πάκτων ἐπ' ἰκρίων
18 σταθεὶς ὄρουσε, πόντιόν τέ νιν
δέξατο θελημὸν ἄλσος.
20 τάφεν δὲ Διὸς υἱὸς ἔνδοθεν
21 κέαρ, κέλευσέ τε κατ' οὖ-
ρον ἴσχεν εὐδαίδαλον
23 νᾶα· μοῖρα δ' ἑτέραν ἐπόρσυν' ὁδόν.
—

**70** ΠΑΝΔΕΡΚΕΑ A, ΠΆΝΤΑΡΚΈΑ O **72** ΧΕΙΡΑΣ ΠΕΤΑΣΣΕ A, ΧΕΙΡΑ[[Σ]] ΠΕΤ[ O **75** ΒΛΕΠΕΙ O, ΒΛΕΠΕΙΣ A: βλέπεις glossema esse (pro ἔδρακες ?) videtur **87–88** ΚΑΤΟΫ : ΡΟΝ A, i.e. κατ' οὖρον





1 ἵετο δ' ὠκύπομπον δόρυ· σόει
νιν βορεὰς ἐξόπιν πνέουσ' ἀήτα·
τρέσσαν δ' Ἀθαναίων
4 ἠϊθέων <—> γένος, ἐπεὶ
5 ἥρως θόρεν πόντονδε, κα-
τὰ λειρίων τ' ὀμμάτων δά-
κρυ χέον, βαρεῖαν ἐπιδέγμενοι ἀνάγκαν.
8 φέρον δὲ δελφῖνες {εν} ἁλι-
ναιέται μέγαν θοῶς
10 Θησέα πατρὸς ἱππί-
ου δόμον· ἔμολέν τε θεῶν
μέγαρον· τόθι κλυτὰς ἰδὼν
13 ἔδεισ' ὀλβίοιο Νη-
ρέος κόρας· ἀπὸ γὰρ ἀγλα-
ῶν λάμπε γυίων σέλας
16 ὧτε πυρός, ἀμφὶ χαίταις
δὲ χρυσεόπλοκοι
18 δίνηντο ταινίαι· χορῶι δ' ἔτερ-
πον κέαρ ὑγροῖσι ποσσίν.
20 εἶδέν τε πατρὸς ἄλοχον φίλαν
21 σεμνὰν βοῶπιν ἐρατοῖ-
σιν Ἀμφιτρίταν δόμοις·
23 ἅ νιν ἀμφέβαλεν ἀϊόνα πορφυρέαν,
—
1 κόμαισί τ' ἐπέθηκεν οὔλαις
col. 7 2 ἀμεμφέα πλόκον,
3 τόν ποτέ οἱ ἐν γάμωι
4 δῶκε δόλιος Ἀφροδίτα ῥόδοις ἐρεμνόν.
5 ἄπιστον ὅ τι δαίμονες
6 θέωσιν οὐδὲν φρενοάραις βροτοῖς·
7 νᾶα πάρα λεπτόπρυμνον φάνη· φεῦ,
8 οἵαισιν ἐν φροντίσι Κνώσιον
9 ἔσχασεν στραταγέταν, ἐπεί

**97** ἜΝΑΛΊ: Palmer **102** ΕΔΕΙΣΕ ΝΗΡΕΟΣ ΟΛΒΙΟΥ ΚΟΡΑΣ A: Ludwich, Richards **108** –ΟΙΣΙΝ ΕΝ ΠΟΣΙΝ: Kenyon **118** ΘΕΛΩΣΙΝ: Crusius

10 μόλ' ἀδίαντος ἐξ ἁλός
11 θαῦμα πάντεσσι, λάμ-
πε δ' ἀμφὶ γυίοις θεῶν δῶρ', ἀγλαό-
θρονοί τε κοῦραι σὺν εὐ-
θυμίᾱι νεοκτίτωι
15 ὠλόλυξαν, ἔ-
κλαγεν δὲ πόντος· ἠΐθεοι δ' ἐγγύθεν
17 νέοι παιάνιξαν ἐρατᾶι ὀπί.
18 Δάλιε, χοροῖσι Κηΐων.
φρένα ἰανθείς
20 ὄπαζε θεόπομπον ἐσθλῶν τύχαν.

## 18 = dith. 4

### ΘΗΣΕΥΣ <ΑΘΗΝΑΙΟΙΣ>

metrum: aeolicum

| | | |
|---|---|---|
| 1 ⏑⏑– –⏑⏑–⏑–– \| | ⏓–⏑⏑–⏑–⏑–⏓ \| | *hipp* ‸*gl ba* ‖ |
| 3 ⏑⏑⏑–⏑⏑–⏑–⁝–⁝ | ⏓–⏑⏑–⏑–⏑–– \| | *hipp* ‸*gl ba* ‖ |
| 5 ⏓⏓⏓ –⏑⏑–⏑⁝ – ⁝ | ⏓–⏑⏑–⏑––\|⏓–⏑–⏑– \| | *gl hipp ia*⏑– \| |
| 8 –– –⏑⏑–⏑⏓ ‖ | | *gl* ‖ |
| 9 –⏑ –⏑⏑–⏑–– \| | ––⏑⏑–⏑⏓ ‖ | *hipp* ‸*gl* ‖ |
| 11 –⏓ –⏑⏑–⏑–– \| | ⏓–⏑⏑–⏑–⏑–⏑– ‖ | *hipp* ‸*gl ia* ‖ |
| 13 –⏓ –⏑⏑–⏑–– | ⏑–⏑–⏑– \| | *gl lec* \| |
| 15 –– –⏑⏑–⏑– | ⏑–– ‖‖ | *gl ba* ‖‖ |

Α' <ΧΟΡΟΣ> Βασιλεῦ τᾶν ἱερᾶν Ἀθανᾶν,
τῶν ἁβροβίων ἄναξ Ἰώνων,
τί νέον ἔκλαγε χαλκοκώδων
σάλπιγξ πολεμηΐαν ἀοιδάν;
ἦ τις ἁμετέρας χθονὸς
δυσμενὴς ὅρι' ἀμφιβάλλει
στραταγέτας ἀνήρ;
ἦ λῃσταὶ κακομάχανοι
ποιμένων ἀέκατι μήλων





σεύοντ' ἀγέλας βίᾱι;
ἦ τί τοι κραδίαν ἀμύσσει;
φθέγγευ· δοκέω γὰρ εἴ τινι βροτῶν
ἀλκίμων ἐπικουρίαν
καὶ τὶν ἔμμεναι νέων,
ὦ Πανδίονος υἱὲ καὶ Κρεούσας.

—

Β' <ΑΙΓΕΥΣ> 1 Νέον ἦλθε<ν> δολιχὰν ἀμείψας
col.8 κᾶρυξ ποσὶν Ἰσθμίαν κέλευθον·
3 ἄφατα δ' ἔργα λέγει κραταιοῦ
φωτός· τὸν ὑπέρβιόν τ' ἔπεφνεν
5 Σίνιν, ὃς ἰσχύϊ φέρτατος
θνατῶν ἦν, Κρονίδα Λυταίου
σεισίχθονος τέκος·
8 σῦν τ' ἀνδροκτόνον ἐν νάπαις
9 Κρεμ<μ>υῶνος ἀτάσθαλόν τε
Σκίρωνα κατέκτανεν·
11 τάν τε Κερκυόνος παλαίστραν
ἔσχεν, Πολυπήμονός τε καρτεράν
13 σφῦραν ἐξέβαλεν Προκό-
πτας, ἀρείονος τυχών
15 φωτός. ταῦτα δέδοιχ' ὅπᾱι τελεῖται.

—

Γ' <ΧΟ.> 1 Τίνα δ' ἔμμεν πόθεν ἄνδρα τοῦτον
λέγει, τίνα τε στολὰν ἔχοντα;
3 πότερα σὺν πολεμηΐοις ὅ-
πλοισι στρατιὰν ἄγοντα πολλάν;
5 ἦ μοῦνον σὺν ὀπάοσιν
στ<ε>ίχειν ἔμπορον οἷ' ἀλάταν
ἐπ' ἀλλοδαμίαν,
8 ἰσχυρόν τε καὶ ἄλκιμον
9 ὧδε καὶ θρασύν, ὃς τ<οσ>ούτων

**18** **9** Δ' ΈΚΑΤΙ: Palmer **35** ΟΠΛΟΙΣΙΝ: Weil **39** ΤΟΥΤΩΝ: <τε> τούτων Palmer, τ<οσ>ούτων Platt, τ<οι>ούτων Kenyon

ἀνδρῶν κρατερὸν σθένος
11 ἔσχεν; ἢ θεὸς αὐτὸν ὁρμᾶι,
δίκας ἀδίκοισιν ὄφρα μήσεται·
13 οὐ γὰρ ῥάιδιον αἰὲν ἔρ-
δοντα μὴ 'ντυχεῖν κακῶι.
15 πάντ' ἐν τῶι δολιχῶι χρόνωι τελεῖται.
—

Δ' <ΑΙΓ.>
1 Δύο οἱ φῶτε μόνους ἁμαρτεῖν
λέγει, περὶ φαιδίμοισι δ' ὤμοις
3 ξίφος ἔχειν <ἐλεφαντόκωπον>,
ξεστοὺς δὲ δύ' ἐν χέρεσσ' ἄκοντας
col.9 5 κηὔτυκτον κυνέαν Λάκαι-
ναν κρατὸς πέρι πυρσοχαίτου·
χιτῶνα πορφύρεον
8 στέρνοις τ' ἀμφί, καὶ οὔλιον
9 Θεσσαλὰν χλαμύδ'· ὀμμάτων δὲ
στίλβειν ἄπο Λαμνίαν
11 φοίνισσαν φλόγα· παῖδα δ' ἔμ<μ>εν
πρώθηβον, ἀρηΐων δ' ἀθυρμάτων
13 μεμνᾶσθαι πολέμου τε καὶ
χαλκεοκτύπου μάχας·
15 δίζησθαι δὲ φιλαγλάους Ἀθάνας.

## 19 = dith. 5

### ΙΩ ΑΘΗΝΑΙΟΙΣ

metrum: v. pp. 264-266

*ΣΤΡ*
1 ⏑–⏑–⏑–⏑–⏑ |
–⏑⏑–⏑⏑– |
3 ⏑–⏑⏑–⏑⏑–⏑
–⏑–⏑–– ||

*ΕΠ*
1 ⏑–⏑–
–⏑–⏑⏑–[
⏑–⏑–⏑–[
4 –⏑⏑–⏑[

**48** suppl. Desrousseaux **51** ΎΠΕΡ: Blass **60** Δ *vacat* ΦΙΛ. **A**, ΙΖΗΣΘΑΙ ΔΕ suppl. **$A^3$**





5 ⏑–⏑⏑–⏑⏑–? ΔΙΘΥΡΑΜΒΟΙ
⏑–⏑⏑–⏑⏑– |
⏑–⏑–⏑–– |
8 ––⏑⏑–⏑⏑–
– ⏑⏑–⏑–⏑–⏑ |
–⏑–⏑–– |
11 ––⏑⏑–⏑–⏑–⏑? |
⏑–⏑–⏑–⏑⏓ |
13 ⏑–⏑⏑–⏑⏑–⏑
–⏑–⏑–⏑– ||?
15? ⏓⏒–⏑⏑–⏑–⏑–⏑ |
–⏑–⏑–– ||
17 ––⏑⏑–⏑–⏑–⏑–⏑⏓ |
–⏑–⏑⏑–⏑–⏑– |||

––⏑–⏑–[
⏑⏑⏑–⏑[
7 ⏑–⏑–⏑[⏑–
⏑⏑⏑–⏑–[
⏑––⏑–[
10 ⏑–⏑⏑–⏑⏑[–
⏑–⏑⏑–[
––⏑⏑[–
13 –⏑–⏑––[
––⏑⏑–⏑[
–⏑–⏑⏑[– . . . |||

Πάρεστι μυρία κέλευθος
ἀμβροσίων μελέων,
ὃς ἂν παρὰ Πιερίδων λά-
χησι δῶρα Μουσᾶν,
ἰοβλέφαροί τε κ<όρ>αι
φερεστέφανοι Χάριτες
βάλωσιν ἀμφὶ τιμάν
ὕμνοισιν· ὕφαινέ νυν ἐν
ταῖς πολυηράτοις τι καινὸν
ὀλβίαις Ἀθάναις,
εὐαίνετε Κηΐα μέριμνα.
πρέπει σε φερτάταν ἴμεν
ὁδὸν παρὰ Καλλιόπας λα-
χοῖσαν ἔξοχον γέρας.
†τιην† Ἄργος ὅθ' ἵππιον λιποῦσα
φεῦγε χρυσέα βοῦς,

**19** **5** ΤΕ ΚΑΙ: Erbse **9** ΚΑΙΝΟΝ **A**: ΚΛ$^{ε}$ΙΝΟΝ **$A^3$** **15** ΤΙΗΝ dubium: ἦεν Headlam, ἦν ποτ' Kenyon, ἤ ποτ' Maehler

## fr. 22 + fr. 4

### [ΑΠΟΛΛΩΝΙ ΠΥΘΑΙΕΙ ΕΙΣ ΑΣΙΝΗΝ]

metrum: dactyloepitr.

*ΣΤΡ*
–– ⏑ ––– ⏑ –
–– ⏑⏑ – ⏑⏑ ––    –E–D– |
3 – ⏑ ––– ⏑ ––– ⏑ –    E– e ||
– ⏑⏑ – ⏑⏑ ––    D – |
– ⏑ ––– ⏑ ––– ⏑ –    E – e ||
6 – ⏑ ––– ⏑ ––    E– |
– ⏑⏑ – ⏑⏑ –    D|
–– ⏑ ––– ⏑ –    – E|
9 – ⏑⏑ – ⏑⏑ ––– ⏑ ––    D– e – |
– ⏑ ––– ⏑ ––    E – |||

*ΕΠ*
– ⏑⏑ – ⏑⏑ –
–– ⏑ ––– ⏑⏑ – ⏑⏑ –    D – e – D||
3 – ⏑⏑ – ⏑⏑ –    D |
–– ⏑ ––– ⏑ ––– ⏑ ––    – E – e – |
– ⏑ ––– ⏑ ––    E – |
6 – ⏑⏑ – ⏑⏑ –
–– ⏑ ––– ⏑ –[–]    D – E[–] |
[––] ⏑⏑ – ⏑⏑ –[    [–] D [
9 [––] ⏑⏑ –[ ⏑⏑ – ?    [–] D [
[–– ⏑]–––[ ⏑ – ?    [–] E [|||

A′? (desunt stropha et antistropha = vv. 1–20)
(Ἡρακλῆς) ἦλθεν ἐπὶ τὸν Κήυκος οἶκον,
21 στᾶ δ᾽ ἐπὶ λάϊνον οὐ-
δόν, τοὶ δὲ θοίνας ἔντυον, ὧδέ τ᾽ ἔφα·
3 "αὐτόματοι δ᾽ ἀγαθῶν
<ἐς> δαῖτας εὐόχθους ἐπέρχονται δίκαιοι

**22+4** **21–25** Athen. 5.178b (= fr.22)  **21** ἔστη: Barrett  **22** ἔντυνον: Neue | ἔφασ᾽: Neue  **24** <ἐς> Barrett





φῶτες." ––– ⏑ ––
(desunt epodi versus 6–10,
incertum an desit trias tota,
B′? desunt strophae versus 1–8)
9 – ⏑⏑ – ⏑ ]τ̣α Πυθω[– ⏑ – –
– ⏑ – – ]ε̣ι̣ τ̣ελευ̣τ̣[–
—
(.) . . . . . .]κ̣έλευσεν Φοῖβος [Ἀλ-
κμήνας] πολεμαίνετον υ̣[ἱόν
3 στέλλεν] ἐκ ναοῦ τε καὶ παρ[– ⏑ –·
ἀλλ᾽ ὅ γε τᾶ]ιδ᾽ ἐνὶ χώρᾱ<ι>
(.) . . . . . . . .]χισεν ταν φυλλο.[
6 (.) . . . . . . . στ]ρ̣έ̣ψας ἐλαίας
(.) . . . . . . . .]φ̣᾽ Ἀσινεῖς
(.) . . . . . . . .]λεσ̣σ̣᾽· ἐν δὲ χρόν[ωι
9 (.) . . . . . .]ες ἐξ αλικων τε.[– ⏑ – –
μάντι]ς ἐξ Ἄργευς Μελάμ[πους
——
ἦλ]θ̣᾽ Ἀμυθαονίδας
βω]μόν τε Πυθα<ι>εῖ κτίσε[– ⏑⏑ –
3 καὶ] τέμενος ζάθ̣ε̣ον·
τοί]ας ἀπὸ ῥίζας τόδε χρ[– – ⏑ – –
ἐξό]χως τίμασ᾽ Ἀπόλλων
6 ἄλσο]ς, ἵν᾽ ἀγλαΐαι
τ᾽ ἀνθ]εῦσ̣ι̣ καὶ μολπαὶ λίγ[ειαι
(.) . . . . . .]ον̣ε̣ς, ὦ ἄνα, τ. .[
9 (.) . . . . . .]τι σ̣ὺ δ᾽ ὀλ[β
(.) . . . . . .].σ̣ιοισιν
)——

**39–70** pap. **T**  **41** κείνους] Barrett, πάντας] Snell, ὡς τοὺς] Maehler  **41–42** Barrett  **42** υ[ἱόν Edmonds  **43** Παρ[νασσίας vel παρ᾽ [ὀμφαλοῦ Barrett  **44** Snell  **46** Barrett  **47** ἠδ᾽ ἐτέως Snell  **47–48** σ]φ᾽ Ἀσινεῖς [εὔντας κά]λεσσ᾽ Lobel  **50** Snell  **51** Edmonds  **52** βω]μόν Blass  **53** Blass  **54** τοί]ας Snell | χρ[ησμωιδὸν Barrett αὔξων Maehler  **55** ἐξό]χως Blass  **56** Snell  **57** in. Barrett | fin. Blass  **59** ὄλ[βον ὀπάζοις Snell

Γ′ ?

τίκτει δέ τε⌋ θνατ⌊οῖσιν εἰ-
ρηνα μεγαλ⌋άνορα ⌊πλοῦτον
3 καὶ μελιγλώ⌋σσων ἀ⌊οιδᾶν ἄνθεα
δαιδαλέων τ'⌋ ἐπὶ βω ⌊μῶν
θεοῖσιν αἴθε⌋σθαι βο⌊ῶν ξανθᾶι φλογί
6 μηρί' εὐ]μάλ⌋λων τε ⌊μήλων
γυμνασίω⌋ν τε νέοι⌊ς
αὐλῶν τε καὶ⌋ κώμω⌊ν μέλειν.
9 ἐν δὲ σιδαρο⌋δέτοις ⌊πόρπαξιν αἰθᾶν
ἀραχνᾶν ἱστ⌋οὶ πέλ ⌊ονται,

———

ἔγχεα τε λογχωτὰ ξίφεα
τ' ἀμφάκεα δάμναται εὐρώς.
3 <–⏑––––⏑––––⏑ –
–⏑⏑–⏑⏑––>
χαλκεᾶν δ' οὐκ ἔστι σαλπίγγων κτύπος,
6 οὐδὲ συλᾶται μελίφρων
ὕπνος ἀπὸ βλεφάρων
ἀῶιος ὃς θάλπει κέαρ.
9 συμποσίων δ' ἐρατῶν βρίθοντ' ἀγυιαί,
παιδικοί θ' ὕμνοι φλέγονται.
(deest epodus: versus 81–90)

**61–80** Stob. *Flor.* 4.14.3 (= fr.4) **66** μηρίταν εὐτρίχων Stob.: Barrett **69–77** Plut. *Num.* 20.6 **75** χαλκέων δ' οὐκέτι Stob.: οὐκ ἔστι Plut. **78** ἆμος (ἅμος) Stob.: Blass



# ΠΡΟΣΟΔΙΟΝ

## fr. 11 + fr. 12

metrum: aeolicum

–⏑⏑–⏑–⏑–⏑–⏑⏑⏑–⏑– | *2tr gl* |
–⏑⏑–⏑⏑–⏑–⏑⏑– | *gl cho* |
⏑⏑⏑–⏑⏑–⏑–⏑⏑–⏑⏑⏑–⏑– || *2gl* ||
5 ⏓⏓⏑–––⏑ <–>–⏑––––| *3cr sp ?* |
⏑⏑–⏑⏑–⏑– | *∧gl ?* |
⏑⏑⏑–⏑⏑–⏑– | *gl* |

(11) εἷς ὅρος, μία βροτοῖσίν ἐστιν εὐτυχίας ὁδός,
θυμὸν εἴ τις ἔχων ἀπενθῆ δύναται
3 διατελεῖν βίον· ὃς δὲ μυ-
ρία μὲν ἀμφιπολεῖ φρενί,
τὸ δὲ παρ' ἆμάρ τε <καὶ> νύκτα μελλόντων
6 χάριν αἰὲν ἰάπτεται
κέαρ, ἄκαρπον ἔχει πόνον.
. . . . . . . . . .
(12) 3 τί γὰρ ἐλαφρὸν ἔτ' ἐστὶν ἄ-
πρακτ' ὀδυρόμενον δονεῖν
καρδίαν;

**11** Stob. *Flor.* 4.44.5 | **12** Stob. *Flor.* 4.44.46